ἄρχεσθαι. Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. Νοῦν ἡγεμόνα ποιοῦ. Μὴ κακοῖς ὁμίλει. Θεοὺς τίμα. Γονέας αἰδοῦ.

Ὅρα
μὴ κρυπτὸν ἔγχος ἔχων κραδίῃ
φαιδρῷ προςενέπῃς προςώπῳ,
γλῶσσα δέ τοι διχόμυθος
ἐκ μελανῆς φρενὸς γεγωνῇ.

Οὗτος ἐδάκρυε τοῦ παιδὸς αὐτοῦ τελευτήσαντος· εἰπόντος δέ τινος Ἀλλ' οὐδὲν ἀνύεις, εἶπε· Κἀγὼ δακρύω ὅτι οὐδὲν ἀνύω.

χεσθαι. συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. νοῦν ἡγεμόνα ποιοῦ. μὴ κακοῖς ὁμίλει. θεοὺς τίμα, γονέας αἰδοῦ.

I, 2, 61 . . . . . . . . . ὅρα
μὴ κρυπτὸν ἔγχος ἔχων κραδίῃ,
φαιδρὸν προςενέπῃ προςώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελανῆς φρενὸς γεγωνῇ.

I, 2, 63. καὶ αὐτόν φησι Διοςκουρίδης ἐν τοῖς ἀπομνημονεύμασιν, ἐπειδὴ δακρύοι τὸν παῖδα τελευτήσαντα, ὃν ἡμεῖς οὐ παρειλήφαμεν, πρὸς τὸν εἰπόντα, «ἀλλ' οὐδὲν ἀνύτεις,» εἰπεῖν, «δι' αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύτω.»

Χείλων ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη· Ἐλπίσιν ἀγαθαῖς· τί δύςκολον. Τὸ τὰ ἀπόρρητα σιωπῆσαι καὶ σχολὴν εὖ θέσθαι καὶ ἀδικούμενον εὖ φέρειν δύνασθαι. Προςέταττε δὲ καὶ γλώσσης κρατεῖν καὶ μάλιστα ἐν συμποσίῳ· μὴ κακολογεῖν τοὺς πλησίον, εἰ δὲ μὴ ἀκούσεσθαι ἐφ' οἷς λυπήσεσθαι· μηδενὶ ἀπειλεῖν· γυναικῶδες γάρ· ταχὺ ἐπὶ τὰς ἀτυ-

I, 3, 68. Χείλων Δαμαγήτου Λακεδαιμόνιος. (69) ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, «ἐλπίσιν ἀγαθαῖς.» τί δύσκολον, «τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον [δύνασθαι] φέρειν.» προςέταττε δὲ καὶ ταῦτα, γλώττης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ. μὴ κακολογεῖν τοὺς πλησίον· εἰ δὲ μή, ἀκούσεσθαι ἐφ' οἷς λυπήσεσθαι. (70) μὴ ἀπειλεῖν

3-4. ὁμίλει Ε: ὡμίλει ΔΠ 7. προςενέπῃς ἔγραψα: προσνέπῃς Δ: προσνέπει Π: προςενέπῃ Ε 8. γλῶσσα ΠΕ: γλῶττα Δ τοι ΔΠ: οἱ Ε 9. γεγωνῇ Ε: γεγόνει Δ: γεγόνοι Π 18. Χείλων Ε: Χίλων ΔΠ 21. τὰ ἀπόρρητα ΠΕ: τἀπόρρητα Δ 22. θέσθαι ΠΔ: διαθέσθαι Ε 23. εὖ φέρειν δύνασθαι ΔΠ: [δύνασθαι] φέρειν Ε 24. καὶ ΠΔ: καὶ ταῦτα Ε 27. μὴ ΠΕ: μὴ' Δ. 28. μηδενὶ ἀπειλεῖν (ἀπειπεῖν Δ) ΔΠ: μὴ ἀπειλεῖν μηδενὶ Ε 29. ταχὺ ΔΠ: ταχύτερον Ε ἀτυχίας ΔΠ: ἀτυχίας — εὐτυχίας Ε



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

χίας πορεύεσθαι· γάμον ἐν τελετῇ μὴ ποιεῖν· τὸν τεθνηκότα μὴ κακολογεῖν· γῆρας τιμᾶν· ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ διὰ παντὸς λυπήσει. ἡ δὲ ἅπαξ ἀνιάσει· ἀτυχοῦντι μὴ ἐπεγγελᾶν· ἐν ἰσχύι πρᾶον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται· [μανθάνειν] τῆς ἑαυτοῦ οἰκίας καλῶς προστατεῖν· τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ· θυμοῦ κρατεῖν· ἐν ὁδῷ μὴ σπεύδειν· λέγοντα μὴ κινεῖν τὴν χεῖρα· μανικὸν γάρ· νόμοις πείθεσθαι.

μηδενί· γυναικῶδες γάρ. ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς εὐτυχίας πορεύεσθαι. γάμον εὐτελῆ ποιεῖσθαι. τὸν τεθνηκότα μὴ κακολογεῖν. γῆρας τιμᾶν. φυλάττειν ἑαυτόν. ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός. ἀτυχοῦντι μὴ ἐπεγγελᾶν. ἰσχυρὸν ὄντα πρᾶον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται· μανθάνειν τῆς αὐτοῦ οἰκίας καλῶς προστατεῖν. τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ. θυμοῦ κρατεῖν. μαντικὴν μὴ ἐχθαίρειν. μὴ ἐπιθυμεῖν ἀδυνάτων. ἐν ὁδῷ μὴ σπεύδειν. λέγοντα μὴ κινεῖν τὴν χεῖρα· μανικὸν γάρ. νόμοις πείθεσθαι . . .

Ὁ δ' αὐτὸς ἔλεγεν ἐν λιθίναις ἀκόναις τὸν χρυσὸν δοκιμάζεσθαι, ἐν δὲ χρυσῷ τὸν ἀγαθῶν τε καὶ πονηρῶν ἐλέγχεσθαι νοῦν.

I, 3,71. Τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησεν ἐκεῖνο· «ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται, διδοὺς βάσανον φανεράν· ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον».

Φασὶ δ' αὐτὸν καὶ Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν· τὸν

I, 3, 69. Φασὶ δ' αὐτὸν καὶ Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη

1-2. ἐν τελετῇ μὴ ΔΠ: εὐτελῆ Ε 3. τιμᾶν ΔΠ: τιμᾶν. φυλάττειν ἑαυτὸν Ε 5-6. τὸ μὲν—ἀνιάσει ΔΠ: ἡ μὲν—παντὸς Ε 6. δὲ Δ: δ' Π 7. ἐπεγγελᾶν Ε: ἐπεγγελᾷν ΔΠ ἐν ἰσχύι ΔΠ: ἰσχυρὸν ὄντα Ε 8. ὅπως ΠΕ: ὅπερ Δ 9. μανθάνειν Ε: λείπει ΔΠ 9-10. ἑαυτοῦ ΔΠ: αὐτοῦ Ε 12. κρατεῖν ΔΠ: κρατεῖν—ἀδυνάτων Ε ἐν ὁδῷ μὴ σπεύδειν ΔΕ: λείπουσι Π 20. ὁ δ' αὐτὸς—νοῦν ΔΠ: τῶν δὲ ᾀδομένων—ἔλεγχον Ε 21. δοκιμάζεσθαι ΔΠ: ἐξετάζεται Ε 22. τὸν Π: τῶν Δ 26-27. πυθέσθαι ΠΕ: πειθέσθαι Δ

δὲ φάναι τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν.

ποιῶν· τὸν δὲ φάναι, «τὰ μὲν ὑψηλὰ ταπεινῶν, τὰ δὲ ταπεινὰ ὑψῶν».

Οὗτος ὑπώπτευεν ἀεὶ τὴν νῆσον τὰ Κύθηρα, καὶ ἔλεγεν· Εἴθε μὴ ἐγεγόνει ἢ γενομένη κατεβυθίσθη. Καὶ εἰ ἐπείσθη Δαμαράτῳ Ξέρξης, συνέχειν ὑποθεμένῳ τὰς ναῦς ἐν τῇ νήσῳ, ἥλω ἂν ἡ Ἑλλάς. Ὕστερον δ' ἐπὶ τῶν πελοποννησιακῶν καταστρεψάμενος τὴν νῆσον Νικίας, φρουρὰν ἐγκατέστησεν Ἀθηναίων, καὶ πάμπολλα κακὰ τοὺς Λακεδαιμονίους διέθηκεν. Ἐτελεύτησε δ' ἐν Πίσῃ, τὸν υἱὸν Ὀλυμπιονίκην θεασάμενος· ἔπαθε δὲ τοῦτο ὑπερβολῇ χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας.

I, 3, 71. Ἐνδοξότατος δὲ μάλιστα παρὰ τοῖς Ἕλλησιν ἐγένετο προειπὼν περὶ Κυθήρων τῆς νήσου τῆς Λακωνικῆς. καταμαθὼν γὰρ τὴν φύσιν αὐτῆς, «εἴθε,» ἔφη, «μὴ ἐγεγόνει, ἢ γενομένη κατεβυθίσθη» καὶ εὖ προὐνοήσατο. (72) Δημάρατος μὲν γὰρ φυγὰς ὢν Λακεδαιμονίων Ξέρξῃ συνεβούλευσε τὰς ναῦς συνέχειν ἐν τῇ νήσῳ· κἂν ἑαλώκει ἡ Ἑλλάς, εἰ ἐπείσθη Ξέρξης. ὕστερόν τε Νικίας ἐπὶ τῶν Πελοποννησιακῶν καταστρεψάμενος τὴν νῆσον, φρουρὰν ἐγκατέστησεν Ἀθηναίων, καὶ πάμπολλα τοὺς Λακεδαιμονίους κακὰ διέθηκε . . . . ἐτελεύτησε δ', ὥς φησιν Ἕρμιππος, ἐν Πίσῃ, τὸν υἱὸν Ὀλυμπιονίκην ἀσπασάμενος πυγμῆς. ἔπαθε δὲ τοῦτο ὑπερβολῇ τε χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας.

Πιττακῷ τῷ Μυτιληναίῳ Κροίσου διδόντος χρήματα, ὁ δὲ οὐκ ἐδέξατο, εἰπὼν ἔχειν, ἂν ἐβου-

I, 4, 75. ἀλλὰ καὶ Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο διπλά-

1. τὰ μὲν Ε: τὰ ΔΠ ταπεινοῦν ΔΠ: ταπεινῶν Ε 2. ὑψοῦν ΔΠ: ὑψῶν Ε 4. οὗτος Π: λείπει Δ 5. Κύθηρα Ε: κύθειρα ΔΠ 7. δαμαράτω ΔΠ: Δημαράτω Ε 15. ἐτελεύτησε δ' Π: οὗτος ὁ χίλων ἐτελεύτησεν Δ: ἐτελεύτησε — Ἕρμιππος Ε Πίσῃ Ε: πίσση ΔΠ 16. θεασάμενος ΔΠ: ἀσπασάμενος πυγμῆς Ε 17. χαρᾶς ΔΠ: τε χαρᾶς Ε 27. Πιττακῷ τῷ μ. ΔΠ: ἀλλὰ καὶ Ε Μυτιληναίῳ Ε: μιτυληναίω ΔΠ 28. ὁ δὲ ΔΠ: λείπουσιν Ε 29. ἂν ΔΠ: ὧν Ε

λετο, τῶν ὄντων διπλάσια, ἄπαιδος τοῦ ἀδελφοῦ τελευτήσαντος.

σια· ἄπαιδος γὰρ τἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι.

Τούτου τὸν υἱὸν Τυρραῖον καθήμενον ἐπὶ κουρείου ἐν Κύμῃ χαλκεύς τις πέλεκυν ἐμβαλὼν ἀνεῖλε. Τῶν δὲ Κυμαίων πεμψάντων αὐτῷ τὸν φονέα, μαθὼν καὶ ἀπολύσας εἶπε· Συγγνώμη μετανοίας κρείσσων.

I, 4,76. Παμφίλη δέ φησιν ἐν τῷ δευτέρῳ τῶν ὑπομνημάτων, ὡς τὸν υἱὸν αὐτοῦ Τυρραῖον καθήμενον ἐπὶ κουρείου ἐν Κύμῃ χαλκεύς τις πέλεκυν ἐμβαλὼν ἀνέλοι. τῶν δὲ Κυμαίων πεμψάντων τὸν φονέα τῷ Πιττακῷ, μαθόντα καὶ ἀπολύσαντα εἰπεῖν, «συγγνώμη μετανοίας κρείσσων».

Ἀλκαῖος δ' ὁ ποιητὴς ἐκάλει τοῦτον σαράποδα διὰ τὸ πλατύπουν, χειροπόδην διὰ τὰς ἐν ποσὶ ῥαγάδας, ἀγάσυρτον ὡς ἐπισεσυρμένον καὶ ῥυπαρὸν, γαύρηκα ὡς εἰκῇ γαυριῶντα, φύσκωνα καὶ γάστρωνα ὅτι παχὺς ἦν, ἀλλὰ μὴν καὶ ζοφοδορπίδαν ὡς ἄλυχνον.

I, 4,81. Τοῦτον Ἀλκαῖος σαράποδα μὲν καὶ σάραπον ἀποκαλεῖ διὰ τὸ πλατύπουν εἶναι καὶ ἐπισύρειν τὼ πόδε· χειροπόδην δὲ διὰ τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς χειράδας ἐκάλουν· γαύρηκα δὲ ὡς εἰκῇ γαυριῶντα· φύσκωνα δὲ καὶ γάστρωνα ὅτι παχὺς ἦν· ἀλλὰ μὴν καὶ ζοφοδορπίδαν ὡς ἄλυχνον· ἀγάσυρτον δὲ ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν.

Τοῦτον οὖν τὸν Ἀλκαῖον ὑποχείριον λαβὼν Πιττακὸς ἀπέλυσε, Συγγνώμη τιμωρίας κρείσσων εἰπών. Νόμον δὲ ἔθηκε, τῷ με-

I, 4,76. Ἡράκλειτος δέ φησιν, Ἀλκαῖον ὑποχείριον λαβόντα καὶ ἀπολύσαντα φάναι, «συγγνώμη τιμωρίας κρείσσων». νόμους δὲ

1. τῶν ὄντων ΔΠ: λείπουσιν Ε   ἄπαιδος ΔΠ: ἄπαιδος γὰρ Ε   2. τοῦ ἀδελφοῦ ΔΠ: τἀδελφοῦ Ε   τελευτήσαντος ΔΠ: τελευτήσαντος κεκληρονομηκέναι Ε   3. τούτου τὸν υἱὸν ΔΠ: Παμφίλη — τὸν υἱὸν αὐτοῦ Ε   Τυρραῖον Ε: τύραιον ΔΠ   5. πέλεκυν ἐμβαλὼν ἀνεῖλε Δ: ἀνεῖλε πέλεκυν ἐμβαλὼν Π: πέλεκυν ἐμβαλὼν ἀνέλοι Ε   7. αὐτῷ — εἶπε ΔΠ: τὸν φονέα — εἰπεῖν Ε   12. δ' Π: δὲ Δ   14. χειροπόδην Ε: χηροπόδην ΔΠ   15. ῥαγάδας Ε: ῥαγάδας Π: ῥογάδας Δ   16. γαύρηκα Ε: γαύρικα ΔΠ   17. γαυριῶντα ΠΕ: γαυριώμενον Δ   19. ζοφοδορπίδαν Ε: ζοφοδόρπιδα ΔΠ   23. τοῦτον — ἀπέλυσε ΔΠ: Ἡράκλειτος — φάναι Ε   26. νόμον ΔΠ: νόμους Ε   δὲ ΔΕ: δ' Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΤΣΙΤΣΗΣ ΙΩΑΝΝΙΝΑ 2006

θύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν [εἶναι] τὴν ζημίαν, ἵνα μὴ μεθύωσι.

Τὰς νίκας ἔλεγεν ἄνευ αἵματος ποιεῖσθαι. Πρὸς τὸν φάσκοντα δεῖν ζητεῖν σπουδαῖον ἄνθρωπον, Ἂν λίαν, ἔφη, ζητήσῃς, οὐχ εὑρήσεις. Ἐρωτηθεὶς τί εὐχάριστον, Χρόνος, ἔφη, ἀφανές, Τὸ μέλλον, πιστόν, Γῆ, ἄπιστον, Θάλασσα.

Ὃ μέλλεις, εἶπε, πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ· ἀτυχίαν μὴ ὀνειδίζειν· παρακαταθήκην λαβόντα ἀποδοῦναι· νέμεσιν αἰδεῖσθαι· φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν· εὐσέβειαν ἀσκεῖν· σωφροσύνην φιλεῖν. Ἔλεγε καὶ τόδε· Χρὴ τόξῳ καὶ ἰοδόκῳ

στείχειν ποτὶ φῶτα κακόν.
Πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα
κραδίῃ νόημα.

**ἔθηκε·** τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν εἶναι τὴν ζημίαν· ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου γινομένου.

**I, 4, 77.** ἔλεγε δὲ καὶ τὰς νίκας ἄνευ αἵματος ποιεῖσθαι. ἔφη δὲ καὶ πρὸς τὸν Φωκαϊκὸν φάσκοντα δεῖν ζητεῖν ἄνθρωπον σπουδαῖον, «ἂν λίαν, ἔφη, ζητῇς, οὐχ εὑρήσεις.» καὶ πρὸς τοὺς πυνθανομένους τί εὐχάριστον, «χρόνος,» ἔφη· ἀφανές, «τὸ μέλλον·» πιστόν, «γῆ·» ἄπιστον, «θάλασσα.»

**I, 4, 78** ἔλεγέ τε . . . ὃ μέλλεις πράττειν μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ. ἀτυχίαν μὴ ὀνειδίζειν, νέμεσιν αἰδούμενον. παρακαταθήκην λαβόντα ἀποδοῦναι. φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν. εὐσέβειαν ἀσκεῖν. σωφροσύνην φιλεῖν. ἀλήθειαν ἔχειν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν, ἐπιμέλειαν. τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησε τάδε·

Ἔχοντα χρὴ τόξα καὶ ἰοδόκον φαρέτρην

1-2. εἶναι Ε: λείπει ΔΠ 2. μεθύωσι ΠΕ: μεθύωσιν Δ 5. νίκας Ε: δίκας ΔΠ ἔλεγεν Δ: ἔλεγε Ε: λείπει Π 5-7. τὰς νίκας — ἄνθρωπον ΔΠ: ἔλεγε — σπουδαῖον Ε 6. ποιεῖσθαι ΠΕ: χρὴ ποιεῖσθαι Δ πρὸς ΔΠ: ἔφη δὲ καὶ πρὸς Ε τὸν Δ: τινα δὲ Π: τὸν Φωκαϊκὸν Ε 8. ζητήσῃς ΔΠ: ζητῇς Ε 9. ἐρωτηθεὶς — ἔφη Δ: καὶ πρὸς — ἔφη Ε: λείπουσι Π 10. μέλλον ΔΕ: μέλλον εἶπε Π 14. ὃ μέλλεις εἶπε ΔΠ: ἔλεγέ τε . . . ὃ μέλλεις Ε 15. πρόλεγε ΔΕ: προύλεγε Π 18. νέμεσιν αἰδεῖσθαι (μετὰ τὸ ἀποδοῦναι) ΔΠ: νέμεσιν αἰδούμενον (μετὰ τὸ ὀνειδίζειν) Ε 20-22. φιλεῖν — ἰοδόκῳ ΔΠ: φιλεῖν — φαρέτρην Ε 21. χρὴ — κακὸν Δ: λείπουσι Π 24. γὰρ ΔΕ: λείπει Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.: Ατ.Ε.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| | στείχειν ποτὶ φῶτα κακόν.<br>πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ<br>στόματος<br>λαλεῖ διχόμυθον ἔχουσα<br>κραδίῃ νόημα. |
| Ἐπέστειλε δὲ ὧδε Κροίσῳ· «Κέλεαί με ἱκνεῖσθαι ἐς Λυδίην, ὅπως σοι τὸν ὄλβον ἴδοιμι· ἐγὼ δὲ, αἴκεν μὴ ὁρῶ, πέπυσμαί τε τῶν βασιλήων πολυχρυσότατον ἐόντα. Οὐδὲν δὲ πλέον ἄμμιν ἱκομένοις ἐς Σάρδις· χρυσοῦ γὰρ οὐ δευόμεθα. ἀλλὰ πέπαμαι ἄρκια καὶ τοῖς ἑτάροις. Ἔμπας δ' ἵξομαι, ὡς ἀνδρὶ ξείνῳ γενοίμην τοι φίλος οὐ δώρων ἕκατι». | I, 4, 81. Καὶ αὐτοῦ ἐστιν ἐπιστόλιον τοιόνδε·<br>Πιττακὸς Κροίσῳ.<br>Κέλεαί με ἱκνέεσθαι ἐς Λυδίην, ὅπως σοι τὸν ὄλβον ἴδοιμι· ἐγὼ δὲ καὶ μὴ ὁρεὶς πέπεισμαι τὸν Ἀλυάττεω παῖδα τῶν βασιλήων πολυχρυσότατον πέλειν. οὐδέν τε πλέον ἄμμιν ἱκομένοις ἐς Σάρδις· χρυσοῦ γὰρ οὐ δεύμεθα, ἀλλὰ πέπαμαι ἄρκια καὶ τοῖς ἐμοῖς ἑτάροις. ἔμπας δ' ἵξομαι, ὡς ἀνδρὶ ξείνῳ γενοίμην τοι συνόμιλος. |
| Τούτου γυμνάσιον σῖτον ἀλεῖν. | I, 4, 81. Τούτῳ γυμνάσια ἦν σῖτον ἀλεῖν, ὥς φησι Κλέαρχος ὁ φιλόσοφος. |
| Βίας. Ἀλυάττου πολιορκοῦντος Πριήνην, δύο πιάνας ἡμιόνους ἀφῆκεν ἐς τὸ στρατόπεδον. Ὁ δὲ βασιλεὺς κατεπλάγη τὸ μέχρι καὶ | I, 5, 83. Λέγεται δὲ καὶ Ἀλυάττου πολιορκοῦντος Πριήνην τὸν Βίαντα πιήναντα δύο ἡμιόνους ἐξελάσαι εἰς τὸ στρατόπε- |

6. ἐπέστειλε—κροίσω ΔΠ: Καὶ αὐτοῦ — Κροίσῳ Ε 9. αἴκεν μὴ ὁρῶ ΔΠ: καὶ μὴ ὁρεὶς Ε πέπυσμαί σε Δ: πέπυσμαι κροῖσον Π: πέπεισμαι τὸν Ἀλυάττεω παῖδα Ε 11. ἐόντα ΔΠ: πέλειν Ε οὐδὲν δὲ ΔΠ: οὐδέν τε Ε ἄμμιν ΔΕ: ἄμιν Π 12. χρυσοῦ ΔΕ: χρυσῷ Π 13. δευόμεθα ΔΠ: δεύμεθα Ε 14. τοῖς ΔΠ: τοῖς ἐμοῖς Ε ἑτάροις Ε: ἑταίροις ΔΠ 15. ξείνῳ Ε: ξένος ΔΠ 16. φίλος ΔΠ: συνόμιλος Ε οὐ δώρων ἕκατι ΔΠ (ἐν τῷ Δ τὰ γράμματα ἔκ διεξεσμένα): λείπουσιν Ε 19. τούτου — ἀλεῖν ΔΠ: τούτῳ — φιλόσοφος Ε ἀλεῖν Ε: ἀλεῖν ΔΠ 24. Ἀλυάττου Ε: ἀλυάττου ΔΠ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀλόγων αὐτῶν διατείνειν τὴν εὐθηνίαν, καί, εἰςπέμψας ἄγγελον, ἐσπείσατο. Θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς Βίαντα, ἵνα ἥκοι παρ' αὐτόν, Ἐγὼ δέ, φησιν, Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν ⟨ἴσον τῷ κλάειν⟩.

δον· τὸν δὲ συνιδόντα καταπλαγῆναι τὸ μέχρι καὶ ἀλόγων αὐτῶν διατείνειν τὴν εὐθενίαν. καὶ ἐβουλήθη σπείσασθαι, καὶ εἰςέπεμψεν ἄγγελον...... καὶ τέλος μαθὼν ὁ Ἀλυάττης εἰρήνην ἐσπείσατο πρὸς τοὺς Πριηνέας. θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα ἵνα ἥκοι παρ' αὐτόν, «ἐγὼ δέ», φησίν, «Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν, [ἴσον τῷ κλαίειν]».

Οὗτος, συμπλέων ποτὲ ἀσεβέσι, τῆς νεὼς χειμαζομένης κἀκείνων θεοὺς ἐπιβοωμένων, Σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας. Ἐρωτηθεὶς δὲ ὑπὸ ἀσεβοῦς, τί ἐστιν εὐσέβεια, ἐσίγα· τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυνθανομένου, Σιωπῶ, ἔφη, ὅτι περὶ τῶν οὐδέν σοι προςηκόντων πυνθάνῃ.

I, 5.86. συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, «σιγᾶτε,» ἔφη, «μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας.» ἐρωτηθεὶς ὑπὸ ἀσεβοῦς ἀνθρώπου τί ποτέ ἐστιν εὐσέβεια, ἐσίγα. τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυθομένου, «σιωπῶ,» ἔφη, «ὅτι περὶ τῶν οὐδέν σοι προςηκόντων πυνθάνῃ.»

Ἥδιον ἔλεγεν ἐχθροῖς ἢ φίλοις δικάζειν· τῶν μὲν γὰρ φίλων ἐχθρὸν πάντως ἔσεσθαι τὸν ἕτερον, ἐχθρῶν δὲ τὸν ἕτερον φίλον.

I, 5, 87. ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων· τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον φίλον.

Οὗτος, δίκην ὑπερτείνας, μετὰ τὸ καταπαῦσαι τὸν λογον ἀπέ-

I, 5, 84. Τοῦτον οὖν καὶ ἐτελεύτα τὸν τρόπον. δίκην γὰρ

1-2. εὐθηνίαν ΔΠ : εὐθενίαν Ε  5. φησιν Δ: φησίν Ε: φημι Π  Ἀλυάττῃ Ε : ἀλυάττη ΔΠ  6-7. ἴσον τῷ κλαίειν Δ: [ἴσον τῷ κλάειν] Ε: λείπουσι Π  12. οὗτος ΔΠ: λείπει Ε  ποτὲ ἀσεβέσι ΠΕ: ἀσεβέσι ποτὲ Δ  13. τῆς νεὼς χειμαζομένης ΔΠ: χειμαζομένης τῆς νεὼς Ε  14. ἐπιβοωμένων ΔΠ: ἐπικαλουμένων Ε  15. ὑμᾶς Ε: ὑμᾶς ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἡμᾶς Π: ἡμᾶς Δ  16. δὲ Π : λείπει ΔΕ  19. πυνθανομένου ΔΠ: πυθομένου Ε  25. τὸν ἕτερον ΔΕ: θάτερον Π  27 — σ. 280,5. οὗτος — ἐνεγκόντων ΔΠ: Τοῦτον — βοηθουμένῳ Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ ΤΣΚ ΙΩΑΝΝΙΝΑ 2006

κλινε τὴν κεφαλὴν ἐς τοὺς τοῦ θυγατριδοῦ κόλπους· εἰπόντος δὲ καὶ τοῦ δι' ἐναντίας τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων, λυθέντος τοῦ δικαστηρίου νεκρὸς εὑρέθη ἐν τοῖς κόλποις τοῦ παιδός.

Οὗτος ἔλεγεν· Ἀστοῖσιν ἄρεσκε πᾶσιν ἐν πόλει αἴκε μένης· πλείστην γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος πολλάκις βλαβερὰ ἐξέλαμψεν ἄταν.

Οὗτος, ἐρωτηθεὶς τί δυςχερὲς, Τὸ τὴν ἐπὶ τὸ χεῖρον, ἔφη, μεταβολὴν εὐγενῶς ἐνεγκεῖν· τί ποιῶν ἄνθρωπος τέρπεται, Κερδαίνων, ἔφη· τὸν βίον οὕτω μετρεῖν ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους φιλεῖν ὡς καὶ μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς· μὴ ταχὺ λάλει· μανίαν γὰρ ἐμφαίνει· περὶ θεῶν λέγε, ὡς εἰσίν· ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον· πείσας λάβε, μὴ βια-

ὑπέρ τινος λέξας ἤδη ὑπέργηρως ὑπάρχων, μετὰ τὸ καταπαῦσαι τὸν λόγον ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τοῦ τῆς θυγατρὸς υἱοῦ κόλπους· εἰπόντος δὲ καὶ τοῦ ἐξ ἐναντίας καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη.

I, 5, 85. τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε· Ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴκε μένης· πλεῖσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος πολλάκι βλαβερὰν ἐξέλαμψεν ἄταν.

I, 5, 86. ἐρωτηθεὶς τί δυςχερές, τὴν «ἐπὶ τὸ χεῖρον», ἔφη, «μεταβολὴν εὐγενῶς ἐνεγκεῖν.»... (87), ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος τέρπεται, ἔφη, «κερδαίνων.» ἔλεγέ τε τὸν βίον οὕτω μετρεῖν ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους, καὶ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς. συνεβούλευέ τε ὧδε· ... μὴ ταχὺ λάλει· μανίαν γὰρ ἐμφαίνει. (88) φρόνησιν ἀγάπα. περὶ θεῶν λέγε

2-4. εἰπόντος-βοηθουμένω καὶ Δ: λείπουσι Π 3. δι' Δ· ἐξ Ε 4. καὶ τῶν ΔΕ: τῶν δὲ Π 11. οὗτος ἔλεγεν ΔΠ: τῶν δὲ—τάδε Ε 12. αἴκε Ε: αἴκεν ΔΠ 13. πλείστην ΔΠ: πλεῖσταν Ε 14. πολλάκις ΔΠ: πολλάκι Ε 17. οὗτος ΔΠ: λείπει Ε 19. τί ΔΠ: ἐρωτηθεὶς τί Ε 20. τέρπεται ΔΠ: τέρπεται ἔφη Ε ἔφη ΔΠ: ἔλεγέ τε Ε 21. βίον ΠΕ: χρόνον Δ μετρεῖν ΠΕ: μετρεῖν τοῦ βίου Δ 23. φιλεῖν ὡς καὶ ΔΠ: καὶ φιλεῖν ὡς Ε 25. κακούς ΔΠ: κακούς—ὧδε Ε 26 ἐμφαίνει ΔΠ: ἐμφαίνει—ἀγάπα Ε 28. λάβε ΔΠ: λαβὲ Ε

σάμενος· ὅ τι ἂν ἀγαθὸν πράττης, εἰς θεοὺς ἀνάφερε· ἐφόδιον εἰς γῆρας ἀπὸ νεότητος λάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῶν ἄλλων κτημάτων.

ὡς εἰσίν. ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. πείσας λαβέ, μὴ βιασάμενος· ὅ τι ἂν ἀγαθὸν πράττης, εἰς θεοὺς ἀνάπεμπε. ἐφόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῶν ἄλλων κτημάτων.

Κλεοβούλου φασὶν εἶναι τὸ ἐπιτύμβιον ἐπίγραμμα Μίδου· ἔστι δὲ τοῦτο·

Χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματι κεῖμαι.
Ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
καὶ ποταμοί [γε] ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

I, 6, 89. καὶ τὸ ἐπίγραμμά τινες τὸ ἐπὶ Μίδᾳ τοῦτόν φασι ποιῆσαι·

Χαλκῆ παρθένος εἰμί, Μίδᾳ δ' ἐπὶ σήματι κεῖμαι.
ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
(90) ἠέλιος τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
καὶ ποταμοί γε ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

Φέρεται δὲ αὐτοῦ καὶ αἴνιγμα τοιόνδε·

Εἷς ὁ πατήρ, παῖδες δυοκαίδεκα, τῶν δὲ ἑκάστῳ

I. 6, 90. Φέρεται δ' αὐτοῦ ἐν τοῖς Παμφίλης ὑπομνήμασι καὶ αἴνιγμα τοῖον·

Εἷς ὁ πατήρ, παῖδες δυοκαίδεκα, τῶν δὲ ἑκάστῳ

2. ἀνάφερε ΔΠ: ἀνάπεμπε Ε 3. εἰς γῆρας ἀπὸ νεότητος λάμβανε ΔΠ: ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε Ε 10. Κλεοβούλου ΠΕ: [Κ]λεοβούλου Δ 10-11. ἐπιτύμβιον Ε: ἐπιτύμβειον ΔΠ 17. ἠέλιος Ε: ἠέλιος ΔΠ 19. γε Ε: λείπει ΔΠ 19-20. ἀνακλύζῃ Ε: ἀναβλύζῃ Π: ἀναβλύζει Δ 21. πολυκλαύτῳ Ε: πολυκαύτῳ ΔΠ 25. δὲ Δ: δ' ΠΕ 25-26. αἴνιγμα τοιόνδε ΔΠ: ἐν τοῖς — τοῖον Ε 28-29. δυοκαίδεκα Ε: δυόδεκα Δ: δυώδεκα Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Α. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

παῖδες δὶς τριάκοντα διάνδιχα
εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ'
αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ' ἐοῦσαι, ἀποφθινύ-
θουσιν ἅπασαι.

Οὗτος ἔφη δεῖν συνοικίζειν τὰς θυγατέρας, παρθένους μὲν τὴν ἡλικίαν, τὸ δὲ φρόνημα γυναῖκας· φίλον δεῖν εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν· φυλάσσεσθαι τῶν μὲν φίλων τὸν ψόγον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν. Καὶ ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ, ζητείτω αὖθις τί ἔπραξε· φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαον· γλῶσσαν εὔφημον ἴσχειν· ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον· τέκνα παιδεύειν· γυναικὶ μὴ φιλοφρονεῖσθαι μηδὲ μάχεσθαι, ἀλλοτρίων παρόντων· οἰκέτην πάροινον μὴ κολάζειν· δοκεῖν γὰρ συμπαροινεῖν· γαμεῖν ἐκ τῶν ὁ-

παῖδες δὶς τριάκοντα διάνδιχα
εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ'
αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ' ἐοῦσαι, ἀποφθινύ-
θουσιν ἅπασαι.

I, 6, 91. ἔφη δὲ δεῖν συνοικίζειν τὰς θυγατέρας, παρθένους μὲν τὴν ἡλικίαν, τὸ δὲ φρονεῖν γυναῖκας· ὑποδεικνὺς ὅτι δεῖ παιδεύεσθαι καὶ τὰς παρθένους. ἔλεγέ τε τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος· τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. φυλάσσεσθαι γὰρ τῶν μὲν φίλων τὸν ψόγον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν. (92) καὶ ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ πάλιν, ζητείτω τί ἔπραξε. Συνεβούλευέ τε εὖ τὸ σῶμα ἀσκεῖν· φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαον· [φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ]· γλῶσσαν εὔφημον ἴσχειν· ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον· ἀδικίαν φεύγειν·

1. δὶς τριάκοντα Ε: τριάκοντα Π: ἑξήκοντα Δ 5. δέ τ' Ε: δὲ Δ: δ' Π ἐοῦσαι ἀποφθινύθουσιν Ε: οὖσαι ἀποφθίνουσιν ΔΠ
7. οὗτος ἔφη ΔΠ: ἔφη δὲ Ε 8. θυγατέρας παρθένους ΠΕ: παρθένους θυγατέρας παρθένους Δ 9. φρόνημα γυναῖκας ΔΠ: φρονεῖν γυναῖκας — τε τὸν Ε 11. δὲ (καὶ 13) ΔΕ: δ' Π 12. τῶν ΔΠ: γὰρ τῶν Ε
14. ὅταν ΔΕ: ὅτάν Π τις ΠΕ: τίς Δ 16-17. εἰσέλθῃ ΔΠ: εἰσέλθῃ πάλιν Ε 17. αὖθις ΔΠ: λείπει Ε ἔπραξε Ε: ἔπραξεν ΔΠ 18. φιλήκοον ΔΠ: Συνεβούλευέ τε — φιλήκοον Ε φιλόλαον ΔΠ: φιλόλαον — ἀμαθῆ Ε 20. ἀρετῆς — ἀλλότριον Δ: λείπουσι Π: ἀρετῆς — ἐχθρὰν διαλύειν Ε 22. μηδὲ Ε: μήδὲ Δ 24. πάροινον ΔΠ: παρ' οἶνον Ε
25. συμπαροινεῖν ΔΠ: ἂν παροινεῖν Ε

Ε.Υ.Δ της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μοίων· ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, δεσπότας εὑρήσεις τοὺς συγγενέας· μὴ ἐπιγελᾶν τοῖς σκωπτομένοις· εὐτυχῶν μὴ ἔσο ὑπερήφανος· ἀπορήσας μὴ ταπεινοῦ· τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

πόλει τὰ βέλτιστα συμβουλεύειν· ἡδονῆς κρατεῖν· βίᾳ μηδὲν πράττειν· τέκνα παιδεύειν· ἔχθραν διαλύειν. γυναικὶ μὴ φιλοφρονεῖσθαι, μηδὲ μάχεσθαι, ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ ἄνοιαν, τὸ δὲ μανίαν σημαίνειν. οἰκέτην παρ' οἶνον μὴ κολάζειν, δοκεῖν γὰρ ἂν παροινεῖν. γαμεῖν ἐκ τῶν ὁμοίων· ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, φησί, δεσπότας κτήσῃ τοὺς συγγενέας. (93) μὴ ἐπεγγελᾶν τοῖς σκωπτομένοις· ἀπεχθήσεσθαι γὰρ τούτοις. εὐτυχῶν μὴ ἴσθι ὑπερήφανος· ἀπορήσας μὴ ταπεινοῦ. τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

Περίανδρον τὸν Κορίνθιόν φασι λυπηθέντα διὰ τὸ μὴ ἐπακοῦσαι αὐτῷ ἐπὶ τυραννίδα τὸν υἱὸν καλούμενον ἀποθανεῖν.

I, 7, 95. Ἤδη δὲ ἐν γήρᾳ καθεστὼς μετεπέμπετο αὐτὸν ὅπως παραλάβοι τὴν τυραννίδα· ὃν φθάσαντες οἱ Κερκυραῖοι διεχρήσαντο.... καὶ ὃς ἀθυμήσας ἐτελεύτησεν.

Οὗτος εἶπε· Μηδὲν ἄγαν μηδὲ χρημάτων ἕνεκα πράττειν· δεῖν δὲ τὰ κέρδους ἄξια κερδαίνειν· τοὺς μέλλοντας ἀσφαλῶς τυραννήσειν τῇ εὐνοίᾳ δορυφορεῖσθαι

I, 7, 97. Τούτου ἐστὶ καὶ τὸ Μηδὲν χρημάτων ἕνεκα πράττειν. δεῖν γὰρ τὰ κερδαντὰ κερδαίνειν. ἐποίησε δὲ καὶ ὑποθήκας εἰς ἔπη δισχίλια. εἶπέ τε τοὺς μέλλοντας

1. τῶν κρειττόνων ΠΕ: κρειττόνων Δ 2. εὑρήσεις ΔΠ: κτήσῃ Ε 3. ἐπιγελᾶν ΔΠ: ἐπεγγελᾶν Ε 3-4. σκωπτομένοις ΔΠ: σκωπτομένοις — τούτοις Ε 4. ἔσο ΔΠ: ἴσθι Ε 26. οὗτος εἶπε ΔΠ: Τούτου ἐστὶ καὶ τὸ Ε 27. δεῖν ΠΕ: δεῖ Δ 28. δὲ ΔΠ: γὰρ Ε κέρδους ἄξια ΔΠ: κερδαντὰ Ε κερδαίνειν ΔΠ: κερδαίνειν — εἶπέ τε Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ μὴ τοῖς ὅπλοις. Ἐρωτηθεὶς δὲ διὰ τί τυραννεῖ, Ὅτι καὶ τὸ ἑκουσίως, ἔφη, ἀποστῆναι καὶ τὸ ἀφαιρεθῆναι ὁμοίως κίνδυνον φέρει· καλὸν ἡσυχία· ἐπισφαλὲς προπέτεια· δημοκρατία κρείσσων τυραννίδος· αἱ ἡδοναὶ φθαρταί, αἱ τιμαὶ ἀθάνατοι· εὐτυχῶν μέτριος ἴσθι, δυστυχῶν φρόνιμος· φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι· λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ· μὴ μόνον τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς μέλλοντας κόλαζε. Οὗτος πρῶτος δορυφόρους ἔσχε, καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησεν.

ἀσφαλῶς τυραννήσειν τῇ εὐνοίᾳ δορυφορεῖσθαι, καὶ μὴ τοῖς ὅπλοις. καί ποτε ἐρωτηθεὶς διὰ τί τυραννεῖ, ἔφη, «ὅτι καὶ τὸ ἑκουσίως ἀποστῆναι καὶ τὸ ἀφαιρεθῆναι κίνδυνον φέρει.» ἔλεγε δὲ καὶ τάδε· καλὸν ἡσυχία· ἐπισφαλὲς προπέτεια· κέρδος αἰσχρόν· *δημοκρατία κρεῖττον τυραννίδος· αἱ μὲν ἡδοναὶ φθαρταί, αἱ δὲ τιμαὶ ἀθάνατοι· (98) εὐτυχῶν μὲν μέτριος ἴσθι, δυστυχῶν δὲ φρόνιμος· φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι· ὃ ἂν ὁμολογήσῃς, διατήρει· λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ· μὴ μόνον τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς μέλλοντας κόλαζε. Οὗτος πρῶτος δορυφόρους ἔσχε, καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε.

Ἀνάχαρσις ἐν Ἀθήναις πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενος, ἐκέλευσέ τινι μηνῦσαι, ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις, βουλόμενος αὐτὸν θεάσασθαι καὶ ξένος

I, 8, 101. Ἕρμιππος δὲ πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενον τῶν θεραπόντων τινὶ κελεῦσαι μηνῦσαι ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις, καὶ βούλοιτο αὐτὸν

1. ἐρωτηθεὶς δὲ ΔΠ: καί ποτε ἐρωτηθεὶς Ε  2. ὅτι ΔΠ: ἔφη ὅτι Ε  3. ἔφη Δ: εἶπεν Π: λείπει Ε  4. ὁμοίως Π: λείπει ΔΕ  5. καλὸν ΠΔ: ἔλεγε δὲ καὶ τάδε· καλὸν Ε  5-6. προπέτεια ΔΠ: προπέτεια· κέρδος αἰσχρὸν Ε  6. κρείσσων ΔΠ: κρεῖττον Ε  7. αἱ ΔΠ: αἱ μὲν Ε  αἱ ΔΠ: αἱ δὲ Ε  8. εὐτυχῶν ΔΠ: εὐτυχῶν μὲν Ε  9. δυστυχῶν ΔΠ: δυστυχῶν δὲ Ε  11. ἀπορρήτων ΠΕ: ἀπορήτων Δ  14. πρῶτος ΠΕ: πρῶτον Δ  23-25. Ἀνάχαρσις — μηνῦσαι (μηνύσαι) ΔΠ: Ἕρμιππος — μηνῦσαι Ε  26. βουλόμενος ΔΠ: καὶ βούλοιτο Ε  27. καὶ ξένος ΔΠ: ξένος τε, εἰ οἷόν τε Ε

| | |
|---|---|
| αὐτοῦ γενέσθαι. Καὶ ὃς εἰσαγγείλας ἐκελεύσθη παρὰ Σόλωνος εἰπεῖν, ὅτι περ ἐν ταῖς πατρίσι ξένους ποιοῦνται. Ἀνάχαρσις δὲ ἔφη, νῦν αὐτὸς ἐν τῇ πατρίδι ὤν, προςήκειν αὐτῷ ξένους ποιῆσαι. Ὁ δὲ, καταπλαγεὶς τὴν ἑτοιμότητα, ἐδέξατο καὶ φίλον ἐν τοῖς μάλιστα πεποίηκεν. | θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. (102) καὶ ὁ θεράπων εἰςαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτιπερ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. ἔνθεν ὁ Ἀνάχαρσις ἑλὼν ἔφη νῦν αὐτὸν ἐν τῇ πατρίδι εἶναι καὶ προςήκειν αὐτῷ ξένους ποιεῖσθαι. ὁ δὲ καταπλαγεὶς τὴν ἑτοιμότητα εἰςέφρησεν αὐτὸν καὶ μέγιστον φίλον ἐποιήσατο. |
| Οὗτος τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυας, τὸν πρῶτον ἡδονῆς, τὸν δεύτερον μέθης, τὸν τρίτον ἀηδίας. | I, 8, 103. Οὗτος τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυς· τὸν πρῶτον ἡδονῆς· τὸν δεύτερον μέθης· τὸν τρίτον ἀηδίας. |
| Μαθὼν δὲ τέσσαρας δακτύλους εἶναι τὸ πάχος τῆς νεώς, τοσοῦτον ἔφη τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν. | I, 8, 103. μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεώς, τοσοῦτον ἔφη τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν. |
| Θαυμάζειν τε ἔφη πῶς Ἕλληνες ἀρχόμενοι μὲν ἐν μικροῖς πίνουσι, πλησθέντες δὲ ἐν μεγάλοις, | I, 8, 104. καὶ θαυμάζειν φησὶ πῶς Ἕλληνες ἀρχόμενοι μὲν ἐν μικροῖς πίνουσι, πλησθέντες δὲ ἐν μεγάλοις. |
| καὶ ὡς ἀγωνίζονται μὲν παρ' αὐτοῖς οἱ τεχνῖται, κρίνουσι δὲ οἱ ἀμαθεῖς. | I, 8, 103. θαυμάζειν δὲ ἔφη πῶς παρὰ τοῖς Ἕλλησιν ἀγωνίζονται μὲν οἱ τεχνῖται, κρίνουσι δὲ οἱ μὴ τεχνῖται. |

1. αὐτοῦ γενέσθαι Π : γενέσθαι αὐτῷ Δ : γενέσθαι Ε  ὃς ΔΠ : ὁ θεράπων Ε  2. παρὰ ΔΠ : ὑπὸ τοῦ Ε  2-3. εἰπεῖν ΔΠ: εἰπεῖν αὐτῷ Ε  3. πατρίσι ΔΠ : ἰδίαις πατρίσι Ε  4-6. ἀνάχαρσις—ὢν ΔΠ : ἔνθεν—εἶναι καὶ Ε  4. δὲ Δ : δ' Π  6. προςήκειν Ε: προςήκει ΔΠ  αὐτῷ ΔΕ: λείπει Π  6-7. ποιῆσαι ΔΠ : ποιεῖσθαι Ε  8. ἐδέξατο—πεποίηκεν ΔΠ : εἰςέφρησεν—ἐποιήσατο Ε  13. βότρυας ΔΠ: βότρυς Ε  16. δὲ τέσσαρας ΔΠ : τέτταρας Ε  20. θαυμ. τὲ ἔφη ΔΠ : καὶ θαυμ. φησὶ Ε  21. μικροῖς ΠΕ : σμικροῖς Δ  24. καὶ ὡς—αὐτοῖς ΔΠ : θαυμάζειν—ἀγωνίζονται Ε  26. ἀμαθεῖς ΔΠ : μὴ τεχνῖται Ε

| | |
|---|---|
| Ἐρωτηθεὶς δέ ποτε εἰ [εἰσὶν] ἐν Σκύθαις αὐλοί, εἶπεν· Ἀλλ' οὐδὲ ἄμπελοι· | I, 8, 104. ἐρωτηθεὶς εἰ εἰσὶν ἐν Σκύθαις αὐλοί, εἶπεν, «ἀλλ' οὐδὲ ἄμπελοι.» |
| καὶ πότερον οἱ ζῶντες πλείους ἢ οἱ νεκροί, Τοὺς δὲ πλέοντας ποῦ τίθης; εἶπεν. Ὀνειδιζόμενος δὲ ὑπὸ Ἀττικοῦ διὰ τὴν πατρίδα, Ἐμοὶ μέν, εἶπεν, ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι. | I, 8, 104. ἐρωτηθεὶς πότεροι πλείους εἰσίν, οἱ ζῶντες ἢ οἱ νεκροί, ἔφη, «τοὺς οὖν πλέοντας ποῦ τίθης;» ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι Σκύθης ἐστίν, ἔφη, «ἀλλ' ἐμοῦ μὲν ὄνειδος ἡ πατρίς, σὺ δὲ τῆς πατρίδος.» |
| Οὗτος τῷ παρρησίᾳ χρῆσθαι διαλεγόμενος ἀφορμὴν παροιμίας παρέσχε τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. | I, 8, 101. παρέσχε δὲ καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παρρησιαστὴς εἶναι, τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. |
| Θαυμάζειν τε ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων, τοὺς ἀθλητὰς τιμῶσιν ἐπὶ τῷ τύπτειν ἀλλήλους. | I, 8, 103. θαυμάζειν τε ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων, τοὺς ἀθλητὰς τιμῶσιν ἐπὶ τῷ τύπτειν ἀλλήλους. |
| Ἐρωτηθεὶς τί ἐν ἀνθρώποις ἀγαθὸν ὁμοῦ καὶ φαῦλον, Γλῶσσα, ἔφη. | I, 8, 105. ἐρωτηθεὶς τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, ἔφη, «γλῶσσα.» |
| Ὑπὸ μειρακίου δὲ παρὰ πότον ὑβρισθείς, Μειράκιον, ἔφη, εἰ νέος ὢν τὸν οἶνον οὐ φέρεις, γέρων γενόμενος ὕδωρ οἴσεις; Οὗτος εὗρεν εἰς τὸν βίον ἄγκυράν τε καὶ κερα- | I, 8, 105. ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς ἔφη, «μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον οὐ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις.» Εὗρε δ' εἰς τὸν βίον ἄγκυράν τε |

1. δέ ποτε ΔΠ : λείπουσιν Ε εἰσὶν Ε : λείπει ΔΠ 4. καὶ ΔΠ : ἐρωτηθεὶς Ε πότερον οἱ ζῶντες πλείους ΔΠ : πότεροι πλείους εἰσίν, οἱ ζῶντες Ε 5. τοὺς δὲ ΔΠ : ἔφη τοὺς οὖν Ε 6. δὲ ΔΠ : λείπει Ε 7-9. διὰ τὴν — πατρίδι ΠΔ : ὅτι — πατρίδος Ε 11. οὗτος — παρέσχε ΔΠ : παρέσχε — εἶναι Ε 20. τί ΔΠ : τί ἐστιν Ε 21. ὁμοῦ ΔΠ : τε Ε 21-22. γλῶσσα ἔφη ΔΠ : ἔφη γλῶσσα Ε 23. δὲ ΔΠ : λείπει Ε 24. μειράκιον ἔφη εἰ ΔΠ : ἔφη μειράκιον, ἐὰν Ε 25. φέρεις ΔΠ : φέρῃς Ε 26. οὗτος εὗρεν ΔΠ : εὗρε δ' Ε 27. κεραμικὸν Ε : κεραμεικὸν ΔΠ

μικὸν τροχόν. Ἐπέστειλε δὲ καὶ Κροίσῳ οὕτως·

Ἐγώ, βασιλεῦ Λυδῶν, ἀφῖγμαι εἰς γῆν τὴν Ἑλλήνων, διδαχθησόμενος ἤθη τὰ τούτων καὶ ἐπιτηδεύματα. Χρυσοῦ δὲ οὐδὲν δέομαι, ἀλλ' ἀπόχρη με ἐπανήκειν εἰς Σκυθίαν ἄνδρα γεγονότα ἀμείνονα. Ἥκω δ' οὖν ἐς Σάρδεις, πρὸ μεγάλου ποιούμενος ἐν γνώμῃ σοι γενέσθαι.

Γενόμενος δ' ἐν Σκυθίᾳ καὶ νομιζόμενος παραλύειν τὰ νόμιμα τῆς πατρίδος, ὑπὸ τοῦ ἰδίου ἀδελφοῦ τοξευθεὶς ἀνῃρέθη, εἰπὼν διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι.

καὶ κεραμικὸν τροχόν, ὥς τινες. καὶ ἐπέστειλεν ὧδε·

Ἀνάχαρσις Κροίσῳ.

Ἐγώ, βασιλεῦ Λυδῶν, ἀφῖγμαι εἰς τὴν τῶν Ἑλλήνων, διδαχθησόμενος ἤθη τὰ τούτων καὶ ἐπιτηδεύματα. χρυσοῦ δ' οὐδὲ δέομαι, ἀλλ' ἀπόχρη με ἐπανήκειν ἐς Σκύθας ἄνδρα ἀμείνονα. ἥκω γοῦν ἐς Σάρδεις, πρὸ μεγάλου ποιούμενος ἐν γνώμῃ τοι γενέσθαι.

I, 8, 102. Μετὰ χρόνον δὲ παραγενόμενος εἰς τὴν Σκυθίαν καὶ δοκῶν τὰ νόμιμα παραλύειν τῆς πατρίδος πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, τοξευθεὶς ἐν κυνηγεσίῳ πρὸς τἀδελφοῦ τελευτᾷ, εἰπὼν διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι.

Ἀναχάρσιδος πυθομένου εἴ τις αὐτοῦ σοφώτερος εἴη, εἶπεν ἡ Πυθία

I, 9, 106. λέγεται δὴ πρός τινος Ἀναχάρσιδος πυνθανομένου εἴ τις αὐτοῦ σοφώτερος εἴη, τὴν Πυθίαν ἀνειπεῖν ἅπερ προείρηται ἐν τῷ Θαλοῦ βίῳ ὑπὲρ Χείλωνος·

1. τροχόν ΔΠ: τροχὸν ὥς τινες Ε. 1-2. ἐπέστειλε—οὕτως ΔΠ: καὶ ἐπέστειλεν—Κροίσῳ Ε 4. Λυδῶν Ε: λιδῶν ΔΠ 5. γῆν τὴν ΔΠ: τὴν τῶν Ε 7. οὐδὲν ΔΠ: οὐδὲ Ε 9. εἰς Σκυθίαν ΔΠ: ἐς Σκύθας Ε γεγονότα ΔΠ: λείπει Ε 10. ἥκω Ε: ἥξω ΔΠ 12. σοι ΔΠ: τοι Ε 13-16. γενόμενος — ἀνῃρέθη ΔΠ: Μετὰ — τελευτᾷ Ε 19. οἰκείᾳ Ε: οἰκία ΔΠ 24-26. ἀναχάρσιδος (τούτου φασὶ Δ) — πυθία ΔΠ: Λέγεται — Χείλωνος Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Οἰταῖόν τινα γενέσθαι
τοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι.

Πολυπραγμονήσας οὖν ἦλθεν εἰς τὴν κώμην, καὶ εὗρεν αὐτὸν θέρους ἐχέτλην ἀρότρῳ προςαρμόζοντα, καὶ εἶπεν αὐτῷ· Ὦ Μύσων, οὐχ ὥρα νῦν ἀρότρου. Καὶ μάλα, εἶπεν, ὥςτε ἐπισκευάζειν.

Οἰταῖον τινά φημι Μύσων' ἐνὶ
Χηνὶ γενέσθαι
τοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι.

πολυπραγμονήσαντα δὲ ἐλθεῖν εἰς τὴν κώμην καὶ εὑρεῖν αὐτὸν θέρους ἐχέτλην ἀρότρῳ προςαρμόττοντα, καὶ εἰπεῖν, «ἀλλ', ὦ Μύσων, οὐχ ὥρα νῦν ἀρότρου.» «Καὶ μάλα,» εἶπεν, «ὥςτε ἐπισκευάζειν.»

Φερεκύδης, παρὰ τὸν αἰγιαλὸν περιπατῶν καὶ ναῦν οὐριοδρομοῦσαν ἰδών, εἶπεν ὡς μετ' οὐ πολὺ καταδύσεται· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ κατέδυ. Ἀνιμηθέντος δὲ ὕδατος ἐκ φρέατος, πιὼν προεῖπεν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο λοιμός· καὶ συνέβη οὕτως. Ἐκ δὲ Ὀλυμπίας εἰς Μεσσήνην ἀνιὼν τῷ ξένῳ Περιλάῳ συνεβούλευεν ἐξοικῆσαι μετὰ τῶν οἰκείων· ὁ δὲ οὐκ ἐπείσθη· Μεσσήνη δὲ ἑάλω.

I, 11,116. Πολλὰ δὲ καὶ θαυμάσια λέγεται περὶ αὐτοῦ. Καὶ γὰρ παρὰ τὸν αἰγιαλὸν τῆς Σάμου περιπατοῦντα καὶ ναῦν οὐριοδρομοῦσαν ἰδόντα εἰπεῖν ὡς οὐ μετ' οὐ πολὺ καταδύσεται· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ καταδῦναι. καὶ ἀνιμηθέντος ἐκ φρέατος ὕδατος πιόντα προειπεῖν ὡς εἰς τρίτην [ἡμέραν] ἔσοιτο σεισμός· καὶ γενέσθαι. ἀνιόντα τε εἰς Ὀλυμπίαν εἰς Μεσσήνην τῷ ξένῳ Περιλάῳ συμβουλεῦσαι μετοικῆσαι μετὰ τῶν οἰ-

1. Οἰταῖόν τινα ἔγραψα: οἰταῖον τινὰ ΔΠΕ   γενέσθαι ΔΠ: φημι — γενέσθαι Ε   2. πραπίδεσσιν Ε: πραπίδεσιν ΔΠ   4-5. πολυπραγμονήσας — εὗρεν ΔΠ : πολυπραγμονήσαντα — εὑρεῖν Ε   6. ἐχέτλην ἀρότρῳ ΔΕ: ἀρότρῳ ἐχέτλην Π   προσαρμόζοντα ΔΠ: προσαρμόττοντα Ε   7. εἶπεν αὐτῷ ὦ ΔΠ: εἰπεῖν Ἀλλ' ὦ Ε   9. μάλα ΠΕ: μάλλα Δ   16. ὡς ΠΕ: οὐ Δ   μετ' οὐ πολὺ Ε: μετουπολὺ ΔΠ   21. λοιμὸς Δ: σεισμὸς ΠΕ   21-22. ἐκ δὲ ὀλυμπίας εἰς μεσσήνην ἀνιὼν Π: ἀνιὼν ἐξ ὀλυμπίας εἰς μεσήνην Δ: ἀνιόντα τε εἰς Ὀλυμπίαν εἰς Μεσσήνην Ε   25. μεσσήνη ΠΕ: μεσήνη Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

κείων, καὶ τὸν μὴ πεισθῆναι· Μεσσήνην δὲ ἑαλωκέναι.

Φθειριάσας, παραγενομένου Πυθαγόρου καὶ ἐρομένου πῶς διακέοιτο, ἐκβαλὼν τῆς θύρας τὸν δάκτυλον εἶπε· Χρωὶ δῆλα· κἀντεῦθεν ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται.

I, 11, 118. . . οἱ δὲ φθειριάσαντα τὸν βίον τελευτῆσαι. ὅτε καὶ Πυθαγόρου παραγενομένου καὶ πυνθανομένου πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν, «χρῷ δῆλα»; καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται.

Τοῦτόν φασι, πολέμου συνεστῶτος Ἐφεσίοις καὶ Μάγνησι, βουλόμενον τοὺς Ἐφεσίους νικῆσαι, πυθέσθαι τινὸς παριόντος πόθεν εἴη· τούτου δ' εἰπόντος Ἐξ Ἐφέσου, Ἕλκυσόν με τοίνυν, ἔφη, τῶν σκελῶν καὶ θὲς εἰς τὴν Μαγνήτων χώραν, καὶ ἀπάγγειλόν σου τοῖς πολίταις μετὰ τὸ νικῆσαι αὐτόθι με θάψαι. Ὁ μὲν ἀπήγγειλεν, οἱ δὲ μετὰ μίαν ἡμέραν ἐλθόντες κρατοῦσι τῶν Μαγνήτων, καὶ τὸν Φερεκύδην μεταλλάξαντα θάπτουσι μεγαλοπρεπῶς.

I, 11, 117. Φησὶ δ' Ἕρμιππος, πολέμου ἐφεστῶτος Ἐφεσίοις καὶ Μάγνησι βουλόμενον τοὺς Ἐφεσίους νικῆσαι πυθέσθαι τινὸς παριόντος πόθεν εἴη· τοῦ δ' εἰπόντος, Ἐξ Ἐφέσου, «ἕλκυσον με τοίνυν, ἔφη, τῶν σκελῶν καὶ θὲς εἰς τὴν τῶν Μαγνήτων χώραν, καὶ ἀπάγγειλόν σου τοῖς πολίταις μετὰ τὸ νικῆσαι αὐτόθι με θάψαι· ἐπεσκηφέναι τε ταῦτα Φερεκύδην.» (118) ὁ μὲν οὖν ἀπήγγειλεν· οἱ δὲ μετὰ μίαν ἐπελθόντες κρατοῦσι τῶν Μαγνήτων, καὶ τόν τε Φερεκύδην μεταλλάξαντα θάπτουσιν αὐτόθι καὶ μεγαλοπρεπῶς τιμῶσιν.

3. φθειριάσας Π: οὗτος φθειριάσας Δ 4. ἐρομένου ΔΠ: πυνθανομένου Ε 5. ἐκβαλὼν ΔΠ: διαβαλόντα Ε 6. χρωὶ ΔΠ: χρῷ Ε δῆλα ΔΕ: δῆλον Π 11. τοῦτόν φασι ἔγραψα: τοῦτον φασὶ ΔΠ: Φησὶ δ' Ἕρμιππος Ε 11-12. συνεστῶτος ΔΠ: ἐφεστῶτος Ε 14. πυθέσθαι Ε: πυθέσθαί ΔΠ 15. τούτου ΔΠ: τοῦ Ε 17. εἰς τὴν Δ: εἰς τὴν Π: εἰς τὴν τῶν Ε 20. θάψαι ΔΠ: θάψαι — Φερεκύδην Ε 21-22. μίαν ἡμέραν ἐλθόντες ΔΠ: μίαν ἐπελθόντες Ε 23-24. τὸν — μεγαλοπρεπῶς ΔΠ: τόν τε — τιμῶσιν Ε 23. φερεκύδην ΠΕ: φερεκίδην Δ

Ἀναξίμανδρος τὴν μὲν σελήνην ἔλεγε ψευδοφαῆ καὶ ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι, καὶ τὸν ἥλιον οὐκ ἐλάσσω τῆς γῆς καὶ καθαρώτατον πῦρ.

II, 1, 1. Ἀναξίμανδρος... ἔφασκεν... τήν τε σελήνην ψευδοφαῆ, καὶ ἀπὸ ἡλίου φωτίζεσθαι· ἀλλὰ καὶ τὸν ἥλιον οὐκ ἐλάττονα τῆς γῆς, καὶ καθαρώτατον πῦρ.

Ἀναξαγόρας δὲ μύδρον, ἤτοι λίθον πεπυρωμένον καὶ μείζω τῆς Πελοποννήσου.

II, 3, 8. Οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον καὶ μείζω τῆς Πελοποννήσου· οἱ δέ φασι Τάνταλον.

Περὶ δὲ τὴν θεωρίαν τῶν φυσικῶν ἠσχολημένου καὶ μὴ φροντίζοντος τῶν πολιτικῶν, εἰπέ τις Οὐδέν σοι μέλει τῆς πατρίδος; Ὁ δὲ Εὐφήμει, εἶπεν· ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος, δείξας τὸν οὐρανόν.

II, 3, 7. καὶ τέλος ἀπέστη, καὶ περὶ τὴν τῶν φυσικῶν θεωρίαν ἦν, οὐ φροντίζων τῶν πολιτικῶν. ὅτε καὶ πρὸς τὸν εἰπόντα, «οὐδέν σοι μέλει τῆς πατρίδος;» «εὐφήμει,» ἔφη, «ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος,» δείξας τὸν οὐρανόν.

Κριθεὶς δὲ ἀσεβείας καθείρχθη ἐν δεσμωτηρίῳ. Καὶ Περικλῆς παρελθὼν εἶπεν [εἴ τι] ἔχουσιν ἐγκαλεῖν αὐτῷ κατὰ τὸν βίον· Οὐδὲν δὲ εἰπόντων, Καὶ μὴν ἐγὼ τούτου μαθητής εἰμι· μὴ οὖν διαβολαῖς ἐπαρθέντες ἀποκτείνητε τὸν ἄνθρωπον, ἀλλ' ἐμοὶ πεισθέντες ἄφετε. Καὶ ἀφείθη· οὐκ ἐνεγκὼν δὲ τὴν ὕβριν ἑαυτὸν ὑπεξήγαγεν.

II, 3, 13. Ἕρμιππος δ' ἐν τοῖς βίοις φησὶν ὅτι καθείρχθη ἐν τῷ δεσμωτηρίῳ τεθνηξόμενος. Περικλῆς δὲ παρελθὼν εἶπεν εἴ τι ἔχουσιν ἐγκαλεῖν αὐτῷ κατὰ τὸν βίον· οὐδὲν δὲ εἰπόντων, «καὶ μὴν ἐγώ,» ἔφη, «τούτου μαθητής εἰμι· μὴ οὖν διαβολαῖς ἐπαρθέντες ἀποκτείνητε τὸν ἄνθρωπον, ἀλλ' ἐμοὶ πεισθέντες ἄφετε.» καὶ ἀφείθη· οὐκ ἐνεγκὼν δὲ τὴν ὕβριν ἑαυτὸν ἐξήγαγεν.

2. ἔλεγε ΔΠ: ἔφασκεν Ε  ὑπὸ τοῦ ΔΠ: ἀπὸ Ε  3. καὶ τὸν Δ: τὸν δ' Π: ἀλλὰ καὶ τὸν Ε  4. ἐλάσσω ΔΠ: ἐλάττονα Ε  19-20. κριθεὶς — δεσμωτηρίω ΔΠ: Ἕρμιππος — τεθνηξόμενος Ε  19. δὲ ΔΕ: δ' Π  20. καὶ περικλῆς ΔΠ: Περικλῆς δὲ Ε  21. εἴ τι Ε: λείπουσι ΔΠ  23. ἐγὼ ΔΠ: ἐγώ, ἔφη Ε  28. ὑπεξήγαγεν ΔΠ: ἐξήγαγεν Ε

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. Δήτης Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Οὗτος ἔλεγε τὴν σελήνην οἰκήσεις ἔχειν καὶ λόφους καὶ φάραγγας, ἀρχάς τε τὰς ὁμοιομερείας, καὶ καθ' ἅπερ ἐκ τῶν ψηγμάτων τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερειῶν σμικρῶν σωμάτων καὶ ἀτόμων τὸ πᾶν συγκεκρίσθαι. Καὶ νοῦν μὲν ἔχειν ἀρχὴν κινήσεως. | II, 3, 7. Οὗτος ἔλεγε . . . τὴν δὲ σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας. ἀρχὰς δὲ τὰς ὁμοιομερείας· καθάπερ γὰρ ἐκ τῶν ψηγμάτων λεγομένων τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν μικρῶν σωμάτων τὸ πᾶν συγκεκρίσθαι. καὶ νοῦν μὲν ἀρχὴν κινήσεως· . . . |
| Καί φησι· Πάντ' ἦν ὁμοῦ χρήματα, εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε· διὸ καὶ Νοῦς ἐπεκλήθη. | II, 3, 6. καὶ πρῶτος τῇ ὕλῃ νοῦν ἐπέστησεν, ἀρξάμενος οὕτω τοῦ συγγράμματος, ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον. «Πάντα χρήματα ἦν ὁμοῦ· εἶτα ὁ νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε.» παρὸ καὶ Νοῦς ἐπεκλήθη. |
| Φασὶ δὲ αὐτὸν προειπεῖν τὴν περὶ Αἰγὸς ποταμοὺς γενομένην τοῦ λίθου πτῶσιν, ὃν [εἶπεν] ἐκ τοῦ ἡλίου πεσεῖσθαι· καὶ γέγονεν. | II, 3, 10. Φασὶ δ' αὐτὸν προειπεῖν τὴν περὶ Αἰγὸς ποταμὸν γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι· . . . καὶ γενέσθαι. |
| Ἔλεγε δὲ καὶ ὡς ὅλος ὁ οὐρανὸς ἐκ λίθων συγκέοιτο, τῇ σφοδρᾷ δὲ περιδινήσει συνεστάναι καὶ ἀνεθέντα κατενεχθήσεσθαι. | II, 3, 12. τὸν δὲ Ἀναξαγόραν εἰπεῖν ὡς ὅλος ὁ οὐρανὸς ἐκ λίθων συγκέοιτο· τῇ σφοδρᾷ δὲ περιδινήσει συνεστάναι καὶ ἀνεθέντα κατενεχθήσεσθαι. |

1. τὴν ΔΠ: τὴν δὲ Ε 1-2. οἰκήσεις ἔχειν ΠΕ: ἔχειν οἰκήσεις Δ 2. καὶ ΔΠ: ἀλλὰ καὶ Ε 3. ἀρχάς τε ΔΠ: ἀρχὰς δὲ Ε 4. καὶ ΔΠ: λείπει Ε καθ' ἅπερ ἔγραψα: καθάπερ ΔΠΕ ἐκ ΔΠ: γὰρ ἐκ Ε 4-5. ψηγμάτων ΔΠ: ψηγμάτων λεγομένων Ε 6. ὁμοιομερειῶν ΔΠ: ὁμοιομερῶν Ε σμικρῶν ΔΠ: μικρῶν Ε 7. καὶ ἀτόμων ΔΠ: λείπουσιν Ε 8. ἔχειν ΔΠ: λείπει Ε 10. καί φησι ἔγραψα: καὶ φησὶ ΔΠ 12. διο ΠΔ: παρὸ Ε 17. δὲ ΔΠ: δ' Ε 18. ποταμοὺς ΔΠ: ποταμὸν Ε 19. εἶπεν Ε: λείπει ΔΠ 20. καὶ γέγονεν ΔΠ: καὶ γενέσθαι Ε 22. ἔλεγε δὲ καὶ ΔΠ: τὸν δὲ Ἀναξαγόραν εἰπεῖν Ε

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Ἐρωτηθεὶς εἰ τὰ ἐν Λαμψάκῳ ὄρη ἔσται ποτὲ θάλαττα, εἶπεν· Ἐάν γε ὁ χρόνος μὴ ἐπιλίπῃ. Ἐρωτηθεὶς δὲ εἰς τί γέγονεν, Εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ. Πρὸς τὸν εἰπόντα Ἐστερήθης Ἀθηναίων, Οὐ μὲν οὖν, εἶπεν, ἀλλ᾽ ἐκεῖνοι ἐμοῦ. | II, 3,10. πρός τε τὸν εἰπόντα, εἰ τὰ ἐν Λαμψάκῳ ὄρη ἔσται ποτὲ θάλαττα, φασὶν εἰπεῖν, «ἐάν γε ὁ χρόνος μὴ ἐπιλίπῃ.» Ἐρωτηθεὶς ποτε εἰς τί γεγέννηται, «εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ.» πρὸς τὸν εἰπόντα, «ἐστερήθης Ἀθηναίων,» «οὐ μὲν οὖν, ἔφη, ἀλλ᾽ ἐκεῖνοι ἐμοῦ.» |
| Πρὸς τὸν εἰπόντα, ὅτι ἐπὶ ξένης τελευτᾷ, Πανταχόθεν, ἔφη, ὁμοία ἡ εἰς Ἅδου κατάβασις. | II, 3,11. πρὸς τὸν δυσφοροῦντα ὅτι ἐπὶ ξένης τελευτᾷ, «πανταχόθεν, ἔφη, ὁμοία ἐστὶν ἡ εἰς ᾅδου κατάβασις.» |
| Ἐς Ὀλυμπίαν ἐλθὼν ἐν δερματίνῳ ἐκάθισεν, ὡς μέλλοντος ὕσειν· καὶ γέγονεν. | II, 3,10. ἀλλὰ καὶ εἰς Ὀλυμπίαν ἐλθόντα ἐν δερματίνῳ καθίσαι, ὡς μέλλοντος ὕσειν· καὶ γενέσθαι. |
| Ἰδὼν τὸν Μαυσώλου τάφον, ἔφη· Τάφος πολυτελὴς λελιθωμένης ἐστὶν οὐσίας εἴδωλον. | II, 3, 10. ἰδὼν τὸν Μαυσώλου τάφον ἔφη, «τάφος πολυτελὴς λελιθωμένης ἐστὶν οὐσίας εἴδωλον.» |
| Τῆς καταδίκης καὶ τῆς τῶν παίδων τελευτῆς ἅμα προσαγγελθείσης αὐτῷ περὶ τῆς καταδίκης εἶπεν, ὡς ἄρα Κἀκείνων καὶ ἐμοῦ πάλαι ἡ φύσις θάνατον κατεψη- | II, 3, 13. ὅτε καὶ ἀμφοτέρων αὐτῷ προσαγγελθέντων, τῆς τε καταδίκης καὶ τῆς τῶν παίδων τελευτῆς, εἰπεῖν περὶ μὲν τῆς καταδίκης, ὅτι ἄρα «κἀκείνων κα- |

1. ἐρωτηθεὶς εἰ (δ᾽ εἰ Π) ΔΠ: πρός τε τὸν εἰπόντα Ε 2. εἶπεν ΔΠ: φασὶν εἰπεῖν Ε 4. δὲ (δ᾽ Π) — γέγονεν ΔΠ: ποτε — γεγέννηται Ε 6. τὸν ΠΕ: δὲ τὸν Δ 7. ἐστερήθης Ε: ᾽στερήθη ΔΠ 7-8. οὐ μὲν οὖν ΔΕ: οὐμενοῦν Π 8. εἶπεν ΔΠ: ἔφη Ε 10. πρὸς τὸν εἰπόντα Δ: ἄλλου δὲ εἰρηκότος Π: πρὸς τὸν δυσφοροῦντα Ε 12. ἡ ΔΠ: ἐστὶν ἡ Ε 14. ἐς Δ: εἰς δ᾽ Π: ἀλλὰ καὶ εἰς Ε ἐλθὼν ΔΠ: ἐλθόντα Ε 14-15. δερματίνῳ ΔΕ: δερματίνῳ χιτῶνι Π 15. ἐκάθισεν ΔΠ: καθίσαι Ε 16. γέγονεν Δ: ἐγένετο Π: γενέσθαι Ε 22-26. τῆς καταδίκης — κἀκείνων ΔΠ: ὅτε καὶ — κἀκείνων Ε 25-26. καὶ ἐμοῦ πάλαι ἡ φύσις θάνατον Δ: κἀμοῦ θάνατον πάλαι ἡ φύσις Π: κἀμοῦ πάλαι ἡ φύσις Ε

φίσατο, περὶ δὲ τῶν παίδων, ὅτι ᾜδειν αὐτοὺς θνητοὺς γεννήσας.

μοῦ πάλαι ἡ φύσις κατεψηφίσατο· » περὶ δὲ τῶν παίδων, ὅτι « ᾔδειν αὐτοὺς θνητοὺς γεννήσας. »

Ἐν Λαμψάκῳ δὲ τελευτῶν, τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων εἰπεῖν τί βούλεται αὐτῷ γενέσθαι, Τοὺς παῖδας, εἶπεν, ἐν ᾧ ἀποθνήσκει μηνὶ κατ' ἔτος παίζειν συγχωρεῖν.

II, 3, 14. Καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον αὐτόθι κατέστρεψεν· ὅτε καὶ τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων τί βούλεται αὐτῷ γενέσθαι, φάναι, « τοὺς παῖδας ἐν ᾧ ἂν ἀποθάνῃ μηνὶ κατ' ἔτος παίζειν συγχωρεῖν. »

Σωκράτης, ἐν ταῖς ζητήσεσι βιαιότερον διαλεγόμενος καὶ κονδυλιζόμενος παρὰ τοῦτο καὶ τιλλόμενος, ἔφερεν ἀνεξικάκως. Καί ποτε λακτισθείς, ἐπειδὴ ἠνείχετο, θαυμάσαντός τινος, εἶπεν· Εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ ἐλάγχανον ;

II, 5, 21. πολλάκις δὲ βιαιότερον ἐν ταῖς ζητήσεσι διαλεγόμενον κονδυλίζεσθαι καὶ παρατίλλεσθαι, τὸ πλέον τε γελᾶσθαι καταφρονούμενον· καὶ πάντα ταῦτα φέρειν ἀνεξικάκως· ὅθεν καὶ λακτισθέντα, ἐπειδὴ ἠνέσχετο, τινὸς θαυμάσαντος, εἰπεῖν, « εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ ἐλάγχανον ; »

Εὐριπίδου δόντος αὐτῷ τὸ Ἡρακλείτου σύγγραμμα καὶ ἐρομένου Τί σοι δοκεῖ ; εἶπεν· Ἃ μὲν συνῆκα γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ.

II, 5, 22. φασὶ δ' Εὐριπίδην αὐτῷ δόντα τὸ τοῦ Ἡρακλείτου σύγγραμμα ἐρέσθαι, « τί δοκεῖ ; » τὸν δὲ φάναι, « ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ. »

Ἀλκιβιάδου διδόντος αὐτῷ χώραν μεγάλην, ἵνα οἰκοδομήσηται οἰκίαν, εἶπε· Καὶ εἰ ὑποδημάτων

II, 5, 24. Καί ποτε Ἀλκιβιάδου, καθά φησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν ὑπομνημάτων,

4-9. Ἐν λαμψάκῳ — συγχωρεῖν ΔΕ: λείπουσι Π  16. ἠνείχετο ΔΠ: ἠνέσχετο Π  17. θαυμάσαντός τινος ἔγραψα: θαυμάσαντος τινὸς ΔΠ: τινὸς θαυμάσαντος Ε  εἶπεν ΔΠ: εἰπεῖν Ε  30. οἰκοδομήσηται ΔΠ: ἐνοικοδομήσηται Ε  29. ἀλκιβιάδου ΔΠ: καί ποτε — ὑπομνημάτων Ε  31. εἶπε καὶ εἰ Δ: εἶπεν εἰ καὶ Π: φάναι καὶ εἰ Ε

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ Π. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006